Καθομολόγησις τῆς τῶν Φυσικῶν καὶ Μαθηματικῶν Ἐπιστημῶν διδάκτορος Ἀναστασίου Δ. Κίνολα

Ἐπειδὴ ἡ διάσημος τῶν Φυσικῶν καὶ Μαθηματικῶν Ἐπιστημῶν Σχολή, τοῦ Πρυτάνεως ἐπινεύοντος εἰς τοὺς ἑαυτῆς διδάκτορας ἠξίωσε δοκιμάσαι με, αὐτῇ τε καὶ τῇ Πρυτανείᾳ δημοσίᾳ πίστιν δίδωμι τήνδε. Τῆς μὲν ἐπιστήμης ὡς οἷόν τε μάλιστα ἐν τῷ βίῳ ἐπιμελήσεσθαι, κἀπὶ τὸ τελειότερον αὐτὴν προαγαγεῖν καὶ ἀγλαΐσαι ἀεὶ πειράσεσθαι, μηδὲ χρήσεσθαι ταύτῃ ἐπὶ χρηματισμῷ ἢ κενοῦ κλέους θήρᾳ ἀλλ᾽ ἐφ᾽ ᾧ ἂν τῆς θείας ἀληθείας τὸ φῶς, προσωτέρω διαχεόμενον, ἀεὶ πλείοσιν ἐπαυγάζῃ· πᾶν δὲ ποιήσειν προθύμως ὅ,τι ἂν μέλλῃ ἐς εὐσέβειαν οἴσειν καὶ κόσμον ἠθῶν καὶ σεμνότητα τρόπων, μηδὲ τῆς τῶν ἄλλων διδασκαλίας σὺν ἀβελτηρίᾳ κατεπιχειρήσειν ποτέ, κενοσόφως περπερευομένη, καὶ τὰ ἐκείνοις δεδογμένα κατασοφιστεύειν πειρωμένη, μηδ᾽ ἐθελήσειν τἀναντία ὧν αὐτὴ γιγνώσκω διδάσκειν, μηδὲ καπηλεύειν τὴν ἐπιστήμην, καὶ τὸ ἀξίωμα τοῦ τῶν Μουσῶν θιασώτου αἰσχύνειν τῇ τῶν ἠθῶν ἀκοσμίᾳ. Ταύτην μοι τὴν ἐπαγγελίαν ἐπιτελούσῃ, εἴη μοι τὸν Θεὸν ἀρωγὸν κτήσασθαι ἐν τῷ βίῳ.

Ἐν Ἀθήναις τῇ 24 Μαΐου 1939